# Ἱκετήριος Κανὼν




## Εἰς τὴν Ἁγίαν Ἔνδοξον Ὁσιοπαρθενομάρτυρα Παρασκευὴν

✠

**Ἐκκλησία**

**Γνησίων Ὀρθοδόξων Χριστιανῶν**

**Ἑλλάδος**

**Ἱερὰ Μητρόπολις Ὠρωποῦ καὶ Φυλῆς**

# Ἱκετήριος Κανὼν

## εἰς τὴν Ἁγίαν Ἔνδοξον Ὁσιοπαρθενομάρτυρα

# Παρασκευὴν




*Ἡ μνήμη αὐτῆς:*

*26η Ἰουλίου*

**ΙΕΡΑ ΜΟΝΗ ΑΓΙΑΣ ΠΑΡΑΣΚΕΥΗΣ**

**ΑΧΑΡΝΑΙ ΑΤΤΙΚΗΣ**

**2017**

✠

Ἐποιήθη, Χάριτι Θεοῦ,
Χειρὶ ἐλαχίστου
Διακόνου † Ὠ. ϗ Φ. Κ.
(20-23.2.2014).

Ἀκροστιχὶς Κανόνος
«Καραίαν δώρησαί μοι ἁγνήν, ὦ Παρασκευή»

Ἀκροστιχὶς ὑπολοίπων Τροπαρίων
«Δ. Μ. Κυπριανοῦ»

Ἀπολυτίκιον «Θεογεννήτρια»
(4.1.2008)

Ἐγκρίσει Συνοδικῇ
(7η Ἰουνίου 2017 ἐκ. ἡμ.)

**Διανέμεται δωρεάν.**

✠



*Τῇ Θεοσκεπάστῳ Ἱερᾷ Μονῇ τῆς Ἁγίας Ὁσιοπαρθενομάρτυρος Παρασκευῆς παρὰ τὰς Ἀχαρνὰς Ἀττικῆς, εἰς Μνημόσυνον Αἰώνιον τοῦ Ἀειμνήστου Πατρός, Γέροντος καὶ Ποιμενάρχου ἡμῶν Μητροπολίτου Κυπριανοῦ τοῦ Δικαίου († 17.5.2013).*

*† Ἅγιον Πάσχα 2014*

***† ὁ Ὠ. ϗ Φ. Κ.***

✠



Ἱερὰ Εἰκὼν
«Ὦ Πανύμνητε Μῆτερ»

Ρωσικὴ Εἰκὼν τοῦ ΙΗ΄ αἰ.
Τιμᾶται: 6η Ὀκτωβρίου

# Ἱκετήριος Κανὼν εἰς τὴν Ἁγίαν Ἔνδοξον Ὁσιοπαρθενομάρτυρα Παρασκευὴν

Εἰς τὸ Ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Ἀμήν!

### Ψαλμὸς ρμβ′ (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου·

Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς

αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾿ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων.

Διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου·

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ᾿ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου, ὅτι ἐπὶ Σοὶ ἤλπισα·

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου·

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς Σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου·

Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με·

Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει

Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου·
Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός Σού εἰμι.

* * *

Καὶ ψάλλονται τὰ ἑξῆς·

**Ἦχος δ'.**

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου (τετράκις).

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Δεδοξασμένην τῶν αἱμάτων τοῖς ῥείθροις, γενναιοτάτην καὶ Ὁσίαν καὶ Μάρτυρα, καταβαλοῦσαν ὅρμημα δεινὸν τοῦ ἐχθροῦ, ὅλως ἐκμειώσασαν τῶν εἰδώλων τὴν πλάνην, τόπον τῆς Τριάδος ὑπερφυῶς γενομένην, Παρασκευὴν τιμήσωμεν πιστοί, χεῖρας κροτοῦντες καὶ ὕμνους ἐξάδοντες.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

**Ἦχος γ'. Τὴν ὡραιότητα.**

Θεογεννήτρια, Παρθένων καύχημα, καὶ ἐγκαλλώπισμα Ὁσίων, Ἄχραντε,

σὺν ἱερᾷ Παρασκευῇ, Παρθένῳ τε καὶ Ὁσίᾳ, ῥύετε Μονὴν ἡμῶν, ἐκ παθῶν καὶ συγχύσεων, ταύτην εἰρηνεύουσαι καὶ φωτὶ καταυγάζουσαι, σὺν Μάρτυσιν ἐνδόξοις τοῦ Σωτῆρος, Κυπριανῷ καὶ Ἰουστίνῃ!

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

* * *

## Ψαλμὸς ν' (50)

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου·

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνο-

μίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με·

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί Σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ

Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

**Μ**ὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου, καὶ τὸ Πνεῦμά Σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

**Ἀ**πόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

**Δ**ιδάξω ἀνόμους τὰς ὁδούς Σου, καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι.

**Ῥ**ῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου.

**Κ**ύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου·

**Ὅ**τι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

**Θ**υσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

**Ἀ**γάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ Σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ·

**Τ**ότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,

ἀναφορὰν καὶ ὁλοκαυτώματα·

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

Καὶ ψάλλεται ὁ ἑξῆς Κανών·

Ἦχος πλ. δ΄.

**Ὠδὴ α΄.**

Ὑγρὰν διοδεύσας.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Καρδίαν μοι δώρησαι καθαράν, Παρθένων δειχθεῖσα καταφύγιον ἀσφαλές, ὦ Μάρτυς Κυρίου φωτοφόρε, καὶ Μοναζόντων σεπτὸν ἐγκαλλώπισμα.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπόθου τὰ βέλη τοῦ πονηροῦ, πρεσβείαις Σου Μῆτερ τὰ κινούμενα καθ᾽ ἡμῶν, καὶ ἄσπιλον τήρει τὸν χιτῶνα, τῶν προστρεχόντων Σοι Μάρτυς πανένδοξε.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ῥοαῖς τῶν ὁσίων Σου πρεσβειῶν, κατάρδευσον Μῆτερ ῥυπωθεῖσάν μου

τὴν ψυχήν, καὶ δός μοι τὴν ἄνωθεν εἰρήνην, ἵνα ἁγνῶς διανύω τὸν βίον μου.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Δακρύων μου ὄμβρους, δέχου Ἁγνή, καὶ ἅπλωσον Σκέπην μητρικήν Σου τὴν φωτεινήν, καὶ πέμψον μοι φῶς τὸ τοῦ Υἱοῦ Σου, καταλαμπρῦνον τὸν νοῦν μου Πανάμωμε.

## ᾨδὴ γ΄.

Οὐρανίας ἁψῖδος.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱκετεύων προσφεύγω, ταῖς Σαῖς λιταῖς ἔνδοξε, καὶ τῇ Σῇ Εἰκόνι Παρθένε, Σύ με προστάτευσον, ἐξ ἐπιθέσεων, τῶν ζοφερῶν τοῦ κακίστου, τῶν Μαρτύρων καύχημα, φῶς τῶν ψυχῶν ἡμῶν.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπαθείας ταῖς τρίβοις, Παρασκευὴ πάνσεμνε, καὶ φωτὶ τῆς θείας Τριάδος, ἴθυνον πάντοτε, πάντα τὰ τέκνα Σου, ἐν

ταπεινώσει καρδίας, τῆς ἁγνείας πρότυπον παρακαλοῦμέν Σε.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Νοσηρὰς ἐπηρείας, καὶ ρυπαρὰς δίωξον, ἅμα δὲ σαρκὸς τὰς κινήσεις, πάσας κατάστειλον, παρασκευάζουσα, πρὸς οὐρανίους θαλάμους, τοὺς εἰς Σὲ προσφεύγοντας Μάρτυς φερώνυμε.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.
Θεοτοκίον.

Δωρεῶν Οὐρανίων, ἱερουργὸς Πάναγνε, καὶ τῆς Ἐκκλησίας ἡ Μήτηρ, οὖσα Πανύμνητε, ἁγνείας χάρισμα, σωματικῆς καὶ καρδίας, ἱκετεύω δοῦναί μοι δούλῳ ἀχρείῳ Σου.

* * *

Μετάνοιαν, καὶ συντριβήν μοι καρδίας δίδου ὦ Μάρτυς, ὅτι πᾶσι καταφυγή, ἐδείχθης προστρέχουσι, ποθοῦσιν ἁγνείαν καὶ παρθενίαν.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ

σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

* * *

Δι᾿ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!

* * *

**Κάθισμα.**

Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Καρδίαν ἁγνήν, καὶ δάκρυά μοι δώρησαι, πενθεῖν διαρκῶς, ἀπώλειαν τῆς Χάριτος· ἱκετεύω ἄκουσον, τοῦ ἀθλίου δούλου Σου, ἴασαι, καὶ ἐκ παθῶν ἀπάλλαξον ἐμέ, ὦ Μάρτυς, ἐν δόξῃ διαλάμπουσα.

* * *

Καὶ συνεχίζεται ὁ Κανών.

**Ὠδὴ δ΄.**

Εἰσακήκοα Κύριε.

**Ἁ**γία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡραιότητι πνεύματος, τῆς ταπεινωθείσης ψυχῆς μου ἔνδυμα, ανακαίνισον Πανένδοξε, τοῦ δοξάζειν Σου σεπτὰ ἀθλήματα.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥυομένην ἀνάδειξον, τὴν ῥερυπωμένην ψυχήν μου Ἔνδοξε, ἐκ παγίδων τοῦ ἀλάστορος, καὶ φωτός με ἔμπλησον τῆς Χάριτος.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ἡδυνθεῖσα τῷ πνεύματι, καὶ καταθελχθεῖσα ἁγνείας ἔρωτι, προστατεύεις νῦν τὰ τέκνα Σου, ἀποκρούουσα ἐχθροῦ τὸ ὅρμημα.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Σωματώσασα Κύριον, καὶ ἀναδειχθεῖσα Τριάδος σκήνωμα, ἐξαγνίζεις τοὺς τιμῶντάς Σε, ὦ Ἁγνὴ ψυχῆς μου Φῶς ἀνέσπερον.

**Ὠδὴ ε΄.**

Φώτισον ἡμᾶς.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἄγνισον ἡμᾶς, πρεσβειῶν Σου ῥείθροις Ἔνδοξε, καὶ Μοναζούσας στήριξον ἀσφαλῶς, διδοῦσα πάσαις εἰρήνην τὴν ἐπουράνιον.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἴδωμεν πιστοί, τῆς ἁγνείας θεῖον πρότυπον, Παρασκευὴν Παρθένων τὴν καλλονήν, τὴν τὸν Σωτῆρα ἐνδόξως διακηρύξασαν.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Μύρου, ὢ Σεμνή, τοῦ τῆς Χάριτος ἀξίωσον, καὶ καθαρότητος τῆς καρδιακῆς, ἵνα δοξάζω τοὺς ἀγῶνας καὶ τὰ ἆθλά Σου.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Ὄρος τοῦ Θεοῦ, ἀνεδείχθης, Παμμακάριστε, καὶ τοῖς βοῶσί Σοι ὀμβροτοκεῖς, πληθὺν χαρίτων τὰς καρδίας ἐξαγνίζουσαν.

**Ὠδὴ ϛ΄.**
Τὴν δέησιν ἐκχεῶ.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱμάτιον τῆς ψυχῆς ἠμαύρωσα, ὡς ἀφρόνως πορευθεὶς καὶ ἀλόγως, καὶ ἡ

ζωή μου ἐπλήσθη ἀνίας, ὁ δὲ ἐχθρός με ταράζει ὡς τύραννος· Σοῦ δέομαι Παρασκευή, τῆς ἁγνείας αὐγαῖς με διάσωσον.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀξίωσον τοῦ Φωτὸς τῆς Χάριτος, τοῦ Χριστοῦ Παρασκευὴ ἀθληφόρε, καὶ τῆς ζωῆς τῆς ἀλήκτου τοὺς πάντας, ἵνα ἀπαύστως δοξάζωσι Κύριον, Τριάδα Θείαν ἐν τρισίν, Ὑποστάσεσιν οὖσαν αἰώνιον.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Γενοῦ μοι Σὺ προστασία ἄμαχος, καὶ κατάβαλε ἐχθρῶν ἐπιθέσεις, καὶ τῶν παθῶν μου διάλυσον σκότος, Παρασκευὴ γενναιόφρον πρεσβείαις Σου, καὶ ἅγνισόν μου τὴν ψυχήν, καὶ καρδίαν καὶ σῶμα Πανεύφημε.

Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Νοσοῦντας πνευματικῶς Πανάχραντε, καὶ ἐν θλίψεσι βιοῦντας καὶ πόνῳ, Σὺ παραμύθησον Μῆτερ ταχέως,

καὶ τὴν χαρὰν τοῦ Υἱοῦ Σου κατάπεμψον, καὶ δὸς ἡμῖν ἐν καθαρᾷ, καὶ ἁγνῇ τῇ καρδίᾳ δοξάζειν Σε.

* * *

Μετάνοιαν, καὶ συντριβήν μοι καρδίας δίδου ὦ Μάρτυς, ὅτι πᾶσι καταφυγή, ἐδείχθης προστρέχουσι, ποθοῦσιν ἁγνείαν καὶ παρθενίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παρρησίαν.

* * *

Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!

* * *

**Κοντάκιον.**

Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.

Ὑψουμένας τὰς χεῖρας τῶν δούλων Σου Ἔνδοξε, μὴ παρίδῃς αὐτῶν τὰς δεήσεις Πανεύφημε, μὴ βραδύνῃς τὰς

τῶν θαυμάτων θείας Σου ῥοάς, ἀλλὰ ἴασαι καὶ τῶν ψυχῶν, καὶ τῶν σωμάτων τὰς πληγάς, ἵνα πόθῳ κραυγάζωμεν· δόξα τῷ ἐν Τριάδι, καὶ Μάρτυσιν ὑμνουμένῳ, ἀληθινῷ ἡμῶν Θεῷ, τῷ ἡμᾶς πάντας θεώσαντι.

* * *

Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!

* * *

**Τὸ Ἱερὸν Εὐαγγέλιον**

Ἐκ τοῦ κατὰ Μᾶρκον. Κεφ. ε΄ 24-34.

Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καὶ συνέθλιβον Αὐτόν.

Καὶ γυνή τις οὖσα ἐν ρύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα

ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου Αὐτοῦ· ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων Αὐτοῦ, σωθήσομαι· καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος.

**Κ**αὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν Ἑαυτῷ τὴν ἐξ Αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· τίς Μου ἥψατο τῶν ἱματίων;

**Κ**αὶ ἔλεγον Αὐτῷ οἱ Μαθηταὶ Αὐτοῦ· βλέπεις τὸν ὄχλον συνθλίβοντά Σε, καὶ λέγεις τίς Μου ἥψατο;

**Κ**αὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν· ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν Αὐτῷ καὶ εἶπεν Αὐτῷ πᾶσαν τὴν ἀλήθειαν.

**Ὁ** δὲ εἶπεν αὐτῇ· θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

* * *

Καὶ ψάλλονται τὰ ἑξῆς·

Ἦχος β΄.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ταῖς τῆς Ἀθληφόρου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Παῦσον τὰ ὁρμήματα, τὰ τῶν παθῶν ἡμῶν Μῆτερ, καὶ καρδίαν δὸς ἡμῖν, ταπεινὴν καὶ ἄδολον, τοῖς ἱκέταις Σου· ἴασιν δώρησαι, δάκρυα Χάριτος, συντριβήν τε τὴν τοῦ πνεύματος, πέμψον τοῖς δούλοις Σου, νοὸς καθαρότητα πάντοτε, νῆψιν καὶ κατάνυξιν, καὶ τὴν

εὐσπλαγχνίαν πρὸς ἅπαντας· Μάρτυς καὶ Παρθένε, πανεύφημε Χριστοῦ Παρασκευή, τοὺς ὀφθαλμοὺς ἡμῶν ἄνοιξον, τῆς ψυχῆς Πανένδοξε.

* * *

Δι᾿ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!

* * *

Καὶ ἀποπληροῦμεν τὰς λοιπὰς Ὠδὰς τοῦ Κανόνος.

**Ὠδὴ ζ΄.**

Οἱ ἐκ τῆς Ἰουδαίας.

**Ἁ**γία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡγεμόνευσας Μάρτυς, τῆς ψυχῆς καὶ τοῦ σώματος Θείᾳ Χάριτι, καὶ οὕτω καθελοῦσα, ἀλάστορος τὰς τέχνας, σεαυτὴν διετήρησας, τῷ ἀνεσπέρῳ Φωτί, Τριάδος τῆς Ἁγίας.

**Ἁ**γία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Νοσημάτων παντοίων, ἰατρὸς ἀνεδείχθης Μάρτυς πανθαύμαστε, Σὲ

νῦν καθικετεύω, ἁγνήν μου τὴν καρδίαν, διατήρησον ψάλλουσαν, Παρασκευὴ τῷ Θεῷ, Τριάδι ἐν Μονάδι.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ὡραιότητι χαίρεις, οὐρανίᾳ Ὁσίων τὸ ἐγκαλλώπισμα, καὶ πέμπεις οὐρανόθεν, τῆς Χάριτος ἀκτῖνας, καὶ ἁγνίζεις τὰ τέκνα Σου, Παρασκευὴ Ἀθλητῶν, καὶ καύχημα Παρθένων.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Παρακλήσεις προσδέχου, τοῦ Σοῦ τέκνου, ὦ Μῆτερ ἡμῶν Πανάσπιλε, καὶ δίδου μοι ἁγνείαν, ψυχῆς τε καὶ καρδίας, καὶ τοῦ σώματος Πάναγνε, ἵνα ὑμνῶ Σε ἀεί, καὶ νῦν καὶ αἰωνίως.

**Ὠδὴ η΄.**

Τὸν Βασιλέα.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀπαρνηθεῖσα, τὰ γηρὰ θείῳ πόθῳ, ἀπολαύεις Φωτὸς αἰωνίου, καὶ τοῖς Σὲ τιμῶσιν ἐκχέεις εὐλογίας.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥερυπωμένων Παρασκευὴ τὰς καρδίας, ἀποκάθαρον θείαις λιταῖς Σου, ἵνα καθορῶσι Θεὸν τὸν ἐν Τριάδι.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ἀλαζονείαν τὴν τοῦ ἐχθροῦ καταργοῦσα, τῶν πιστῶν τὰς καρδίας φωτίζεις, ὅθεν ἀνυμνοῦσί Σε Μάρτυς ἐπαξίως.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Σωματικήν τε καὶ ψυχικὴν τὴν ὑγείαν, ἐκζητοῦμεν ἐν πίστει Παρθένε, Ἰατρὸν τεκοῦσα τῆς φύσεως ἀνθρώπων.

## Ὠδὴ θ΄.

Κυρίως Θεοτόκον.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Καταύγασον τὸν νοῦν μου, τοῦ ἡγεμονεύειν, τοῦ τριμεροῦς τῆς ψυχῆς μου, καὶ δός μοι ἁγνήν, καὶ τὴν καρδίαν ὑμνοῦσαν, Μάρτυς τὰ ἆθλά Σου.

Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐξάλειψον τὸν ῥῦπον, τῶν ἁμαρτιῶν μου, καὶ συντριβὴν τῆς καρδίας, Ὁσία μοι δός, ἵνα ῥοαῖς τῶν δακρύων, ζῶ ἐν ἁγνότητι.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ὑψαύχενα ἐχθρόν μου, Σὺ καταβαλοῦσα, ἐλευθερίαν καὶ χάριν, παράσχου Χριστοῦ, τῷ ἁμαρτίαις ποικίλαις, καταστενάζοντι.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Θεοτοκίον.

Ἡδέως Θεοτόκον, Σὲ διακηρύττω, καὶ ταπεινῶς Σοι προσπίπτω, ὦ Μῆτερ Θεοῦ, καθικετεύων ἀπαύστως, δός μοι μετάνοιαν.

**Μεγαλυνάρια.**

Τῆς Θεοτόκου.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάρι-

στον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξοτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον, Σὲ μεγαλύνομεν.

Τῆς Ἁγίας, τρία.

Ῥῦσαι τὰ Σὰ τέκνα τοῦ πονηροῦ, Μάρτυς τοῦ Κυρίου καὶ Ὁσία Παρασκευή· δίδου τοῖς Σοῖς δούλοις ἁγνότητα καρδίας, δακρύων τε τὰ ῥεῖθρα καὶ τὴν Μετάνοιαν.

Ἴθυνον ζωήν μου Παρασκευή, πρὸς τὰς τοῦ Κυρίου Ἐντολὰς τὰς Φωτοειδεῖς, σκέπε δὲ καὶ φρούρει αἰσθήσεων πεντάδα, ἁγνότητα καρδίας διαφυλάττουσα.

Ἅγνισόν μου νοῦν τε καὶ τὴν ψυχήν, Φωτὶ τῆς Τριάδος ταῖς λιταῖς Σου Παρασκευή, ἵνα συντριβῇ τε καὶ δάκρυσιν ἐνθέοις, ὑμνῶ καὶ μεγαλύνω τὰ Σὰ ἀθλήματα.

Τῶν Ἁγίων Πάντων.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

* * *

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (γ΄)

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον. (γ΄)

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς Οὐρανοῖς, ἁγιασθήτω τὸ Ὄνομά Σου, ἐλθέτω ἡ Βα-

σιλεία Σου, γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν Οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!

* * *

### Τὸ Ἀπολυτίκιον τῆς Ἁγίας.

Ἦχος α΄.

Τὴν σπουδήν Σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη φερώνυμε, τὴν ὁμώνυμόν Σου πίστιν, εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευὴ Ἀθληφόρε· ὅθεν προχέεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

* * *

## Ἐξαποστειλάρια.

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ναμάτων τῆς Εὐσπλαγχνίας, τὸν ἀδαπάνητον πλοῦτον, Παρασκευῆς νῦν τιμῶμεν, καὶ τῶν Λειψάνων τὴν θήκην· καὶ ἐκ βαθέων βοῶμεν, χαῖρε πανεύφημε Μάρτυς.

Ὁ ποταμὸς τῶν θαυμάτων, Παρασκευῆς τῆς Ἁγίας, καταδροσίζει καρδίας, τοῦ πλήθους τῶν Ὀρθοδόξων, τῶν δοξαζόντων Τριάδα, Δημιουργὸν τῶν ἁπάντων.

Ὑπὲρ τῶν τέκνων Σου Μάρτυς, καθικετεύεις ἀπαύστως, καθοδηγοῦσα ἐν τρίβοις, ἁγνείας καὶ Μετανοίας· δι᾽ ὃ καὶ εὐχαριστοῦμεν, Σοὶ τῇ Μητρὶ τῇ Εὐσπλάγχνῳ.

* * *

## Καταληκτήρια Τροπάρια.

Ἦχος πλ. δ΄.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἦχος β΄.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μήτηρ τῆς Ζωῆς, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Ἦχος δ΄.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα Σε δοξάζωμεν, τὴν Ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἦχος α΄.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν Σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος Οἰκτίρμων.

* * *

Δι᾽ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν!



## Πρόσθετα Μεγαλυνάρια καὶ Ἐξαποστειλάριον *

### Μεγαλυνάρια

Ἦχος πλ. δ΄. Ἄξιόν ἐστι.

Δός μοι μετανοίας τὴν χαρμονήν, καὶ τὴν τῶν πταισμάτων μου ταχεῖαν ἀπαλλαγήν, λῦσον δὲ ὀδύνας καρδίας μου καὶ πόνους, Ὁσία τοῦ Κυρίου ἀξιοθαύμαστε.

Ὄμματα ψυχῆς μου τὰ ἀφεγγῆ, φώτισον ἀκτῖσι τῶν λιτῶν Σου Παρασκευή, αἰσίαν δὲ δίδου χρωτὸς τὴν θεραπείαν, πασχόντων προσφευγόντων τῇ μεσιτείᾳ Σου.

Χαίροις τῶν Ὁσίων Παρασκευή, καὶ Μαρτύρων κλέος, Διδασκάλων ἀναψυχή, Ἀποστόλων δόξα καὶ καύχημα Παρθένων, ἡμῶν τῶν ἱκετῶν Σου θεία εὐπρέπεια.

Φύλαττε Μονήν Σου τὴν εὐαγῆ, Πάρνηθος τοῦ ὄρους Ἀχαρνῶν ἐν τῇ Ἀττικῇ, μετὰ τοῦ Ὁσίου Δομήτορος τῆς Μάνδρας, Ἱερωνύμου θείου Πατρὸς καὶ Γέροντος.

Στήριξον εὐχαῖς Σου, Μῆτερ ἡμῶν, ἐν γνησίᾳ πίστει καὶ ἀγάπῃ διηνεκῇ, ταύτην τὴν Μονήν Σου θερμῶς ἀνακειμένην, καὶ ἐπικαλουμένην τὴν Σὴν ἀντίληψιν.

* * *

**Ἐξαποστειλάριον**

Ἦχος γ΄. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἡ Ἐκκλησία ἀγάλλου, σὺν τῇ σεπτῇ Παρασκευῇ, τῇδε ἡ Ποίμνη εὐφραίνου, ἐν βιοτῇ χριστοπρεπῇ, ἀναδειχθεῖσα ἐσχάτως, φῶς διαυγάζον καρδίας.

✠

**Τῷ δὲ Δοτῆρι ἐν Τριάδι Θεῷ,**
**τῷ Πατρί, κ τῷ Υἱῷ,**
**καὶ τῷ Θείῳ Παρακλήτῳ,**
**δόξα, προσκύνησις κ εὐχαριστία!**

---

**(*) Π**οίημα εὐλαβὲς τοῦ Θεοφιλεστάτου Ἐπισκόπου Γαρδικίου κ. Κλήμεντος, 2α καὶ 3η Ἰουνίου 2017 ἐκ. ἡμ. **Δ**ὲν ἐνσωματώθησαν εἰς τὴν Ἀκολουθίαν τῆς Ἱερᾶς Παρακλήσεως, προκειμένου νὰ μὴ διαταραχθῇ ἡ Ἀκροστιχὶς τῶν «ὑπολοίπων Τροπαρίων» (βλ. σελ. 2).

